νευσαν οἱ βασιλεῖς τῆς γῆς· καὶ ἐμεθύσθησαν οἱ κατοι-
κοῦντες τὴν γῆν, ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. καὶ ἀπή-
νεγκέ με εἰς ἔρημον ἐν πνεύματι. καὶ εἶδον γυναῖκα καθημένην
Ἐπὶ θηρίον κόκκινον γέμον ὀνόματα βλασφημίας, ἔ-
χον κεφαλὰς ἑπτά, καὶ κέρατα δέκα. καὶ ἡ γυνὴ ἦν πε-
ριβεβλημένη, πορφυροῦν καὶ κόκκινον. κεχρυ-
σωμένη χρυσίῳ, καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις. ἔχουσα
ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων
καὶ τὰ ἀκάθαρτα τῆς πορνείας τῆς γῆς. καὶ ἐπὶ τὸ μέτω-
πον αὐτῆς, ὄνομα γεγραμμένον. μυστήριον. Βαβυ-
λὼν ἡ μεγάλη ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων
τῆς γῆς. καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵ-
ματος τῶν ἁγίων. καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ. καὶ ἐθαύ-
Μασα ἰδὼν αὐτήν, θαῦμα μέγα. καὶ εἶπέ μοι ὁ ἄγγελος
διατί ἐθαύμασας. ἐγὼ ἐρῶ σοι τὸ μυστήριον τῆς γυναικὸς
καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτήν. τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς
καὶ τὰ δέκα κέρατα. τὸ θηρίον ὃ εἶδες, ἦν καὶ οὐκ ἔστι. καὶ
μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου καὶ εἰς ἀπώλειαν ὑπά-
γει. καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς. ὧν
οὐ γέγραπται τὸ ὄνομα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς,
ἀπὸ καταβολῆς κόσμου. βλεπόντων ὅτι ἦν τὸ θηρίον
καὶ οὐκ ἔστι. καὶ παρέσται. ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. αἱ ζ'
Κεφαλαί, ἑπτὰ ὄρη εἰσίν. ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν.
Καὶ βασιλεῖς ἑπτά εἰσιν. οἱ πέντε ἔπεσαν. ὁ εἷς ἔστιν. ὁ ἄλ-
λος οὔπω ἦλθε. καὶ ὅταν ἔλθῃ, ὀλίγον δεῖ αὐτὸν μεῖναι. καὶ
τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν, καὶ αὐτὸς ὄγδοός ἐστιν. καὶ ἐκ τῶν
ἑπτά ἐστι. καὶ εἰς ἀπώλειαν ὑπάγει. καὶ τὰ δέκα κέρατα
ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν οἵτινες βασιλείαν οὔπω
ἔλαβον. ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς, μίαν ὥραν λα-
μβάνουσι μετὰ τοῦ θηρίου. οὗτοι μίαν ἔχουσι γνώμην.
Καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν αὐτῶν, τῷ θηρίῳ διδόασιν.
Οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι. καὶ τὸ ἀρνίον νικήσει
αὐτούς. ὅτι κύριος κυρίων ἐστί. καὶ βασιλεὺς βασιλέων.
καὶ οἱ μετ' αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί. καὶ λέγει μοι. τὰ
ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ
ὄχλοι εἰσί. καὶ ἔθνη καὶ γλῶσσαι. καὶ τὰ δέκα κέρα-
τα ἃ εἶδες καὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην. καὶ ἠ-
ρημωμένην ποιήσουσιν αὐτήν. καὶ γυμνήν. καὶ τὰς σάρ-
κας αὐτῆς φάγονται. καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί.